ETA SIGMA PHI

Annual Greek Translation Contest (2006)
Intermediate

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

Xenophon describes a military formation before battle (Anabasis, 4th c. BCE)

Καὶ ἤδη τε ἦν μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε καὶ λόγχαι καί αἱ τάξεις καταφανεῖς ἐγίγνοντο.

καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνόμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τοὺτων ἄρχειν· ἐχόμενοι δὲ γερροφόροι, ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δ' οὗτοι ἐλέγοντο εἶναι· ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται. πάντες δ' οὗτοι κατὰ ἔθνη ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον τὸ ἔθνος ἐπορεύοντο.

πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων τὰ δὴ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντυγχάνοιεν.

δείλη early afernoon; κονιορτὸς dust
συχνῷ some (of time); μελανία blackness
ἤστραπτε from ἀστράπτω, flash
λόγχαι spear-points; εὐωνόμου left
ἐχόμενοι next (to them)
γερροφόροι (τὸ γέρρον = wicker shield)
ποδήρεσι from ποδήρης, reaching to the feet
πλαισίῳ πλήρει in a solid square
διαλείποντα συχνὸν ἀπ' ἀλλήλων at considerable intervals from one another
δρεπανηφόρα (τό δρέπανον = scythe)
ἀξόνων from ἄξων, axle
εἰς πλάγιον ἀποτεταμένα, extending out slantwise
δίφροις from δίφρος, chariot board